11 τὰ σκεύη ἀργυρᾶ καὶ χρυσᾶ. [11]καὶ ταῦτα ἡγίασεν Δαυιδ τῷ κυρίῳ
μετὰ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου, οὗ ἔλαβεν ἐκ πάντων τῶν
ἐθνῶν, ἐξ Ιδουμαίας καὶ Μωαβ καὶ ἐξ υἱῶν Αμμων καὶ ἐκ τῶν
12 ἀλλοφύλων καὶ ἐξ Αμαληκ. [12]καὶ Αβεσσα υἱὸς Σαρουια ἐπάταξεν
13 τὴν Ιδουμαίαν ἐν κοιλάδι τῶν ἁλῶν, ὀκτὼ καὶ δέκα χιλιάδας, [13]καὶ
ἔθετο ἐν τῇ κοιλάδι φρουράς· καὶ ἦσαν πάντες οἱ Ιδουμαῖοι παῖ-
δες Δαυιδ. καὶ ἔσῳζεν κύριος τὸν Δαυιδ ἐν πᾶσιν, οἷς ἐπορεύετο.
14 [14]Καὶ ἐβασίλευσεν Δαυιδ ἐπὶ πάντα Ισραηλ καὶ ἦν ποιῶν κρίμα
15 καὶ δικαιοσύνην τῷ παντὶ λαῷ αὐτοῦ. [15]καὶ Ιωαβ υἱὸς Σαρουια
ἐπὶ τῆς στρατιᾶς καὶ Ιωσαφατ υἱὸς Αχιλουδ ὑπομνηματογράφος
16 [16]καὶ Σαδωκ υἱὸς Αχιτωβ καὶ Αχιμελεχ υἱὸς Αβιαθαρ ἱερεῖς καὶ
17 Σουσα γραμματεὺς [17]καὶ Βαναιας υἱὸς Ιωδαε ἐπὶ τοῦ χερεθθι καὶ
τοῦ φελεθθι καὶ υἱοὶ Δαυιδ οἱ πρῶτοι διάδοχοι τοῦ βασιλέως.
19 [1]Καὶ ἐγένετο μετὰ ταῦτα ἀπέθανεν Ναας βασιλεὺς υἱῶν Αμμων, καὶ
2 ἐβασίλευσεν Αναν υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. [2]καὶ εἶπεν Δαυιδ Ποιή-
σω ἔλεος μετὰ Αναν υἱοῦ Ναας, ὡς ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ᾽
ἐμοῦ ἔλεος· καὶ ἀπέστειλεν ἀγγέλους Δαυιδ τοῦ παρακαλέσαι αὐ-
τὸν περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἦλθον παῖδες Δαυιδ εἰς γῆν υἱῶν
3 Αμμων τοῦ παρακαλέσαι αὐτόν. [3]καὶ εἶπον ἄρχοντες Αμμων πρὸς
Αναν Μὴ δοξάζων Δαυιδ τὸν πατέρα σου ἐναντίον σου ἀπέστει-
λέν σοι παρακαλοῦντας; οὐχ ὅπως ἐξερευνήσωσιν τὴν πόλιν τοῦ
4 κατασκοπῆσαι τὴν γῆν, ἦλθον παῖδες αὐτοῦ πρὸς σέ; [4]καὶ ἔλαβεν
Αναν τοὺς παῖδας Δαυιδ καὶ ἐξύρησεν αὐτοὺς καὶ ἀφεῖλεν τῶν
μανδυῶν αὐτῶν τὸ ἥμισυ ἕως τῆς ἀναβολῆς καὶ ἀπέστειλεν αὐ-
5 τούς. [5]καὶ ἦλθον ἀπαγγεῖλαι τῷ Δαυιδ περὶ τῶν ἀνδρῶν, καὶ ἀπ-
έστειλεν εἰς ἀπάντησιν αὐτοῖς, ὅτι ἦσαν ἠτιμωμένοι σφόδρα· καὶ
εἶπεν ὁ βασιλεύς Καθίσατε ἐν Ιεριχω ἕως τοῦ ἀνατεῖλαι τοὺς πώ-
6 γωνας ὑμῶν καὶ ἀνακάμψατε. — [6]καὶ εἶδον οἱ υἱοὶ Αμμων ὅτι
ᾐσχύνθη λαὸς Δαυιδ, καὶ ἀπέστειλεν Αναν καὶ οἱ υἱοὶ Αμμων χίλια
τάλαντα ἀργυρίου τοῦ μισθώσασθαι ἑαυτοῖς ἐκ Συρίας Μεσοποτα-
7 μίας καὶ ἐκ Συρίας Μοοχα καὶ ἐκ Σωβα ἅρματα καὶ ἱππεῖς [7]καὶ

10 τα ult. > B | αργυρα και χρυσα] tr. A, τα χρυσα και αργ. και χαλκα mu. || 11 ταυτα > S*† || 12 αβεσσα et σαρ.: cf. 2 16 | κοιλαδι] pr. τη S || 13 τον δαυιδ (cf. 6)] > BS† || 14 κριματα AV$L^p$† | τω παντι] tr. SL || 15 αχιλουδ] αχεια BS†: cf. Regn. II 8 16 | υπομν.] pr. ο A || 16 αβειμελεχ S | σουσα] σους ο S†, ιησους B† || 17 του χερεθθι και του φελεθθι Vmu. (sed V† χερετθι)] των ιερεων κ. φαλτ(ε)ια BS(†), του χερηθι κ. του φαλεθθι A†

19 1 ναας > BS† | ανναν S$L^p$†: item in 4, sed in 2 etiam S αναν, in 6 S† αιναν || 2 ναας] ανας B† | αμμαν S†, sed in 1. 3. 6 etc. etiam S αμμων || 3 αρχ.] pr. οι A | δαυιδ > BS | σου $1^0 \frown 2^0$ S† | οπως] ουτως AV† | εραυνησουσιν A† || 5 δαυιδ] pr. βασιλει S*† | εως] pr. και S† || 6 οι $1^0$ > A, $2^0$ > S | εαυτοις] ε > S, αυτους A† | μοοχα BS†] μαχα A†, μααχα rel.; sed in 7 BSAmu. μωχα | εκ ult.] παρα BS, απο L† | σωβα S†] -βαλ B†, σουβα rel.: cf. Ps. 59 2